εις ἐνδελεχῶς τρὶς τῆς ἡμέρας, αὐτὸς ἐξελεῖταί σε ἐκ χειρὸς τῶν 𝔊
18 λεόντων· ἕως πρωὶ θάρρει. [18]τότε Δανιηλ ἐρρίφη εἰς τὸν λάκκον
τῶν λεόντων, καὶ ἠνέχθη λίθος καὶ ἐτέθη εἰς τὸ στόμα τοῦ λάκκου,
καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ ἑαυτοῦ καὶ ἐν τοῖς
δακτυλίοις τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀπ᾽ αὐτῶν ἀρθῇ ὁ
19 Δανιηλ ἢ ὁ βασιλεὺς αὐτὸν ἀνασπάσῃ ἐκ τοῦ λάκκου. [19]τότε
ὑπέστρεψεν ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ καὶ ηὐλίσθη νῆστις
καὶ ἦν λυπούμενος περὶ τοῦ Δανιηλ. τότε ὁ θεὸς τοῦ Δανιηλ
πρόνοιαν ποιούμενος αὐτοῦ ἀπέκλεισε τὰ στόματα τῶν λεόντων,
20 καὶ οὐ παρηνώχλησαν τῷ Δανιηλ. [20]καὶ ὁ βασιλεὺς Δαρεῖος ὤρ-
θρισε πρωὶ καὶ παρέλαβε μεθ᾽ ἑαυτοῦ τοὺς σατράπας καὶ πορευθεὶς
21 ἔστη ἐπὶ τοῦ στόματος τοῦ λάκκου τῶν λεόντων. [21]τότε ὁ βασι-
λεὺς ἐκάλεσε τὸν Δανιηλ φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ λέγων Ὦ
Δανιηλ, εἰ ἄρα ζῇς, καὶ ὁ θεός σου, ᾧ λατρεύεις ἐνδελεχῶς, σέ-
22 σωκέ σε ἀπὸ τῶν λεόντων, καὶ οὐκ ἠχρείωκάν σε; [22]τότε Δανιηλ
23 ἐπήκουσε φωνῇ μεγάλῃ καὶ εἶπεν Βασιλεῦ, ἔτι εἰμὶ ζῶν, [23]καὶ
σέσωκέ με ὁ θεὸς ἀπὸ τῶν λεόντων, καθότι δικαιοσύνη ἐν ἐμοὶ
εὑρέθη ἐναντίον αὐτοῦ· καὶ ἐναντίον δὲ σοῦ, βασιλεῦ, οὔτε ἄγνοια

---

καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων· καὶ εἶπεν ὁ θ′
βασιλεὺς τῷ Δανιηλ Ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐ-
18 τὸς ἐξελεῖταί σε. [18]καὶ ἤνεγκαν λίθον καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα
τοῦ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ
καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ
19 πρᾶγμα ἐν τῷ Δανιηλ. [19]καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον
αὐτοῦ καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐ-
τῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ. καὶ ἀπέκλεισεν ὁ θεὸς τὰ
20 στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ Δανιηλ. [20]τότε
ὁ βασιλεὺς ἀνέστη τὸ πρωὶ ἐν τῷ φωτὶ καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ
21 τὸν λάκκον τῶν λεόντων· [21]καὶ ἐν τῷ ἐγγίζειν αὐτὸν τῷ λάκκῳ
ἐβόησεν φωνῇ ἰσχυρᾷ Δανιηλ ὁ δοῦλος τοῦ θεοῦ τοῦ ζῶντος, ὁ
θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, εἰ ἠδυνήθη ἐξελέσθαι σε ἐκ
22 στόματος τῶν λεόντων; [22]καὶ εἶπεν Δανιηλ τῷ βασιλεῖ Βασιλεῦ,
23 εἰς τοὺς αἰῶνας ζῆθι· [23]ὁ θεός μου ἀπέστειλεν τὸν ἄγγελον αὐ-
τοῦ, καὶ ἐνέφραξεν τὰ στόματα τῶν λεόντων, καὶ οὐκ ἐλυμήναντό
με, ὅτι κατέναντι αὐτοῦ εὐθύτης ηὑρέθη μοι· καὶ ἐνώπιον δὲ σοῦ,

17 αυτον > B*† | συ > A†: cf. 21 || 18 ηνεγκεν et επεθηκεν A† | ο βασ. > A† || 19 εισηνεγκαν] -ηνεχθη A | ο υπνος απεστη] ο υπνος αυτου εγενετο A†: ex 2 1 | και απεκλεισεν(απ > BA†) — fin.] ex 𝔊, > L = 𝔐 || 21 εβοησεν] pr. τω δανιηλ A | ισχυρα] μεγαλη A | συ > A: cf. 17 || 23 κατεναντι] -τιον A | μοι] εν εμοι A